ἢ εἰρήνην ποιεῖσθαι αἰσχρὰν, ἢ παραινῇ περὶ τὰς θυσίας μικρὰ συντελεῖν, ἤ τι τοιοῦτον εἰσηγῆται. δεῖ δὲ περὶ τῶν τοιούτων πρότερον μὲν πρὸς τοὺς ἀκροατὰς προκαταλήψει χρῆσθαι· ἔπειτα τὴν αἰτίαν εἰς τὴν ἀνάγκην, καὶ τὴν τύχην, καὶ τοὺς καιροὺς, καὶ τὸ συμφέρον ἀναφέρειν, καὶ λέγειν, ὡς οὐχ οἱ συμβουλεύοντες τῶν τοιούτων, ἀλλὰ τὰ πράγματά ἐστιν αἴτια. καὶ τὰς μὲν περὶ τὸ πρᾶγμα διαβολὰς ἐκ τῶν τοιούτων ἀπὸ τῶν συμβουλευόντων ἀπάξομεν. ὁ δὲ λόγος ἐν ταῖς δημηγορίαις διαβάλλεται, ὅταν ἢ μακρὸς, ἢ ἀρχαῖος, ἢ ἄπιστος λέγηται. ἐὰν μὲν οὖν μακρὸς ᾖ, τὸ πλῆθος αἰτιατέον τῶν πραγμάτων· ἐὰν δὲ ἀρχαῖος, διδακτέον ὅτι νῦν καιρὸς αὐτοῦ εἴη· εἰ δὲ ἀπίθανος, ὑπισχνεῖσθαι δεῖ, ὡς ἀληθῆ ἐπιδείξεις ἐπὶ τοῦ λόγου. τὰς μὲν οὖν δημηγορίας, ἐκ τούτων καταστησόμεθα. τάξομεν δὲ πῶς; ἐὰν μὲν μηδεμίαν διαβολὴν ἔχωμεν, μήτε αὐτοὶ, μήτε ὁ λόγος, μήτε τὸ πρᾶγμα, τὴν πρόθεσιν ἐν ἀρχῇ εὐθέως ἐκθήσομεν· ἐπὶ δὲ τὸ προσέχειν, καὶ τοῦ λόγου εὐμενῶς ἀκούειν, ὕστερον παρακαλέσομεν. ἐὰν δὲ διαβολή τις ᾖ τῶν προειρημένων περὶ ἡμᾶς, προκαταλαβόντες τοὺς ἀκροατὰς, καὶ περὶ τῶν διαβολῶν τὰς ἀπολογίας καὶ τὰς προφάσεις συντόμως ἐνεγκόντες, οὕτω προθήσομεν, καὶ τοὺς ἀκροατὰς ἐπὶ τὸ προσέχειν παρακαλέσομεν. τοῦτον μὲν οὖν τὸν τρόπον τὰς καταστάσεις τῶν δημηγοριῶν ποιητέον.

Κεφάλαιον λα.

ΜΕτὰ δὲ τοῦτο ἀνάγκη ἡμᾶς ἐστιν, ἢ τὰς προγεγενημένας πράξεις ἀπαγγέλλειν, ἢ ἀναμιμνήσκειν, ἢ τὰς νῦν οὔσας μερίζοντα δηλοῦν, ἢ τὰς μελλούσας γενήσεσθαι προλέγειν. ὅταν μὲν οὖν πρεσβείας ἀπαγγέλλωμεν, πάντα δὴ τὰ ῥηθέντα καθαρῶς διεξελθεῖν, ἵνα πρῶτον μὲν μέγεθος ὁ λόγος ἔχῃ. ἀπαγγελία γὰρ μόνον ἔσται ἡ τοιαύτη, καὶ οὐδὲν ἄλλο λόγου σχῆμα παρεμπεσεῖται. ἔπειθ᾽ ὅπως ἂν μὲν ἀποτετυχηκότες ὦμεν, μὴ διὰ τὴν ἡμετέραν ῥαθυμίαν οἱ ἀκούοντες οἴωνται διαμαρτάνειν τῆς πράξεως, ἀλλὰ δι᾽ ἄλλην αἰτίαν τινά· ἂν δὲ ἐπιτύχωμεν, μὴ διὰ τύχην ὑπολάβωσι τοῦτο γεγενῆσθαι, ἀλλὰ διὰ τὴν ἡμετέραν προθυμίαν. ταῦτα δὲ πιστεύουσιν,

A aut pacem turpem fieri perſuadet,aut circa Deorum immortalium ſacrificia quàm minimos effici ſumptus monet,aut huiuſmodi quicquam narrat.Oportet autem in huiuſmodi rebus præoccupatione priùs ad auditores vti, quarum cauſam, aut in neceſſitatem, aut in Fortunam, aut in tẽpora, aut in aliquod commodum referamus, dicamúſque non conſultantibus quidem eſſe,ſed rebus potius huiuſcemodi cauſam adſcribendum.Hoc igitur modo B eas,quæ circa rem ſunt, inſimulationes à conſultantibus remouebimus. Oratiò verò ipſa in cōcionibus ſolet inſimulari,cùm aut prolixè,aut nimis priſcè,aut minus probabiliter dicatur. Et ſiquidem longa fuerit, in rerum multitudinem cauſa eſt referenda:ſin priſca ſit,doceatur oportet nunc ipſam tempeſtiuam eſſe.Sin autem minùs probabilis ſit, pollicearis oportet, eam te veram in dicendi C progreſſu demonſtraturum. Conſultationes igitur ex iis rebus principio conſtituemus. Quo verò vtamur ordine, animaduerti conuenit. Siquidem nulla prorſus inſimulatio ſit, neque nobis, neque orationi,neque ipſi rei, à propoſitione continuò eſt inchoandum. Attētè autem quæ dicuntur, humanéque audire ad poſtremum exhortabimur. Sin verò aliqua D ſumus ab illis,qui antè dixerunt, inſimulatione præuenti poſt anticipatam auditorum opinionem,eorum, quorum inſimulati fuerimus, & reſponſiones, & cauſas breuiter in medium deferentes, ita proponemus, & auditores ad attentionem exhortabimur. Exordia quidem in conſultationibus hoc modo ſunt cōſtituēda.

CAPVT XXXI.

POſtea verò neceſſe eſt,aut res geſtas E à nobis renunciari, referríve, aut res præſentes diuidendo exponi,aut,quæ futuræ ſunt,iam prædici. Cùm igitur de legatione ſit nobis renunciandum, omnia quæ dicta fuerint, dilucidè narrare oportet, quo primum quidem grauitatem oratio præ ſe ferat. Hæc enim renunciatio ſolùm erit, nulláque alia orationis figura incidet. Deinde ſi quidem nobis ex F ſententia minus res contigerit, non vlla id negligentia noſtra, ſed alia quadam cauſa accidiſſe auditores exiſtiment. Sin verò ex ſententia contigerit, nō caſu aliquo,ſed noſtra diligentia, & induſtria id factum opinentur. Hæc autem eò faciliùs credunt,ſi quoniam geſtioni negotiorum nequaquā interfuerint, noſtrā in oratione negligentiam,prōptitudinémque perſpexerint, vtpote,qui nihil omittamus, ſed